τοῦτο δρῶντας. διὸ καὶ θοίνας καὶ θαλίας καὶ μέθας ὠνόμαζον, τὰς μὲν ὅτι διὰ θεοὺς οἰνοῦσθαι δεῖν ὑπελάμβανον, τὰς δ' ὅτι θεῶν χάριν ἠλίζοντο καὶ συνῄεσαν· τοῦτο γάρ ἐστι τὸ 'δαῖτα θάλειαν'.[1] τὸ δὲ μεθύειν φησὶν Ἀριστοτέλης τὸ μετὰ τὸ θύειν αὐτῷ χρῆσθαι.

PHILO., *De Plant.* 34. 141. τὰ μὲν οὖν εἰρημένα τῷ νομοθέτῃ περὶ μέθης εἰσόμεθα ἐπ' ἀκριβείας αὖθις, νυνὶ δὲ ἐξερευνήσωμεν ὅσα καὶ τοῖς ἄλλοις ἔδοξεν. ἐσπουδάσθη δὴ παρὰ πολλοῖς τῶν φιλοσόφων ἡ σκέψις οὐ μετρίως, προτείνεται δὲ οὕτως, εἰ μεθυσθήσεται ὁ σοφός. ἔστι τοίνυν τὸ μεθύειν διττόν, ἓν μὲν ἴσον τι τῷ οἰνοῦσθαι, ἕτερον δὲ ἴσον τῷ ληρεῖν ἐν οἴνῳ. τῶν δὲ ἐπιχειρησάντων τῇ προτάσει οἱ μὲν ἔφασαν μήτε ἀκράτῳ πλείονι χρήσεσθαι τὸν σοφὸν μήτε ληρήσειν. . . . 35. 144. οἱ δὲ τὸ μὲν οἰνοῦσθαι καὶ σπουδαίῳ προσῆκον ἀπεφήναντο, τὸ δὲ ληρεῖν ἀνοίκειον. . . . 38. 154. τὸν ἄκρατον ὥσπερ οἶνον, οὕτω καὶ μέθυ οἱ παλαιοὶ ἐκάλουν. πολλαχοῦ γοῦν τῆς ποιήσεώς ἐστι τουτὶ τὸ ὄνομα ἐμφερόμενον, ὥστ' εἰ τὰ συνωνυμοῦντα καθ' ἑνὸς ὑποκειμένου λέγεται, οἶνος καὶ μέθυ, καὶ τὰ ἀπὸ τούτων οὐδὲν ὅτι μὴ φωναῖς διοίσει μόνον, τό τε οἰνοῦσθαι καὶ τὸ μεθύειν. . . . 155. εἰ δὲ οἰνωθήσεται, καὶ μεθυσθήσεται.[2] . . . 156. μία μὲν ἀπόδειξις περὶ τοῦ τὸν σοφὸν μεθυσθήσεσθαι λέλεκται, δευτέρα δέ ἐστι τοιαύτη. . . . 39. 160. ὅτι καὶ τὸ ἄκρατον οὐχ ὁμοίως οἱ νῦν τοῖς πάλαι προσφέρονται. . . . 161. πάσης γὰρ καλῆς πράξεως ἀφ' ἱερῶν τελείων οἱ πρότεροι κατήρχοντο νομίζοντες μάλιστα οὕτως αἴσιον ἀποβήσεσθαι τὸ τέλος αὐτοῖς, τῷ πρὶν εὔξασθαί τε καὶ θῦσαι· καὶ εἰ σφόδρα τοῦ πράττειν ἔσπευδον οἱ καιροί, πάντως ἀνέμεινον, οὐκ ἀεὶ τὸ ταχὺ τοῦ βραδέος ἡγούμενοι κρεῖττον. οὐ προμηθὲς μὲν γὰρ τάχος βλαβερόν, βραδύτης δὲ μετ' εὐελπιστίας ὠφέλιμον. εἰδότες οὖν ὅτι καὶ ἡ τοῦ οἴνου ἀπόλαυσίς τε καὶ χρῆσις δεῖται πολλῆς ἐπιμελείας, οὔτε ἄδην οὔτε ἀεὶ προσεφέροντο τὸν ἄκρατον ἀλλ' ἔν τε κόσμῳ καὶ καιρῷ προσήκοντι.